Od.24.243 τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός·
Od.24.244 "ὦ γέρον, οὐκ ἀδαημονίη σ´ ἔχει ἀμφιπολεύειν
Od.24.245 ὄρχατον, ἀλλ´ εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
Od.24.246 οὐ φυτόν, οὐ συ̱κῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
Od.24.247 οὐκ ὄγχνη̱͵οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
Od.24.248 ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυ̱μῷ·
Od.24.249 αὐτόν σ´ οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ´ ἅμα γῆρας
Od.24.250 λυγρὸν ἔχεις αὐχμεῖς τε κακῶς καὶ ἀεικέα ἕσσαι.
Od.24.251 οὐ μὲν ἀεργι̱ίης γε ἄναξ ἕνεκ´ οὔ σε κομίζει,
Od.24.252 οὐδέ τί τοι δούλειον ἐπιπρέπει εἰσοράασθαι
Od.24.253 εἶδος καὶ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.
Od.24.254 τοιούτῳ δὲ ἔοικεν, ἐπεὶ λούσαιτο φάγοι τε,
Od.24.255 εὑδέμεναι μαλακῶς· ἡ γὰρ δίκη ἐστὶ γερόντων.
Od.24.256 ἀλλ´ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
Od.24.257 τεῦ δμώς εἰς ἀνδρῶν; τεῦ δ´ ὄρχατον ἀμφιπολεύεις;
Od.24.258 καί μοι τοῦτ´ ἀγόρευσον ἐτήτυμον, ὄφρ´ ἐῢ εἰδῶ,
Od.24.259 εἰ ἐτεόν γ´ Ἰθάκην τήνδ´ ἱ̱κόμεθ´, ὥς μοι ἔειπεν
Od.24.260 οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ´ ἰόντι,
Od.24.261 οὔ τι μάλ´ ἀρτίφρων, ἐπεὶ οὐ τόλμησεν ἕκαστα
Od.24.262 εἰπεῖν ἠδ´ ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
Od.24.263 ἀμφὶ ξείνῳ ἐμῷ, ἤ που ζώει τε καὶ ἔστιν,
Od.24.264 ἦ ἤδη τέθνηκε καὶ εἰ̯ν Ἀΐδα̱ο δόμοισιν.
Od.24.265 ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
Od.24.266 ἄνδρά ποτ´ ἐξείνισσα φίλῃ ἐν πατρίδι γαίῃ
Od.24.267 ἡμέτερόνδ´ ἐλθόντα, καὶ οὔ πώ τις βροτὸς ἄλλος
Od.24.268 ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵ̱κετο δῶμα·
Od.24.269 εὔχετο δ´ ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκε
Od.24.270 Λα̱έρτην Ἀρκεισιάδην πατέρ´ ἔμμεναι αὐτῷ.
Od.24.271 τὸν μὲν ἐγὼ πρὸς δώματ´ ἄγων ἐῢ ἐξείνισσα,
Od.24.272 ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων,
Od.24.273 καί οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐῴκει.

Od.24.274 χρυ̱σοῦ μέν οἱ δῶκ´ εὐεργέος ἑπτὰ τάλαντα,
Od.24.275 δῶκα δέ οἱ κρητῆρα πανάργυρον ἀνθεμόεντα,
Od.24.276 δώδεκα δ´ ἁπλοΐδας χλαίνα̱ς, τόσσους δὲ τάπητας,
Od.24.277 τόσσα δὲ φά̱ρεα κα̱λά, τόσους δ´ ἐπὶ τοῖσι χιτῶνας,
Od.24.278 χωρὶς δ´ αὖτε γυναῖκας ἀμύ̱μονα ἔργα ἰδυία̱ς
Od.24.279 τέσσαρας εἰδαλίμα̱ς, ᾱ̱̔ς ἤθελεν αὐτὸς ἑλέσθαι."
Od.24.280 τὸν δ´ ἠμείβετ´ ἔπειτα πατὴρ κατὰ δάκρυον εἴβων·
Od.24.281 "ξεῖν´, ἦ τοι μὲν γαῖαν ἱκά̱νεις, ἣν ἐρεείνεις,
Od.24.282 ὑβρισταὶ δ´ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσι.
Od.24.283 δῶρα δ´ ἐτώσια ταῦτα χαρίζεο, μυ̱ρί´ ὀπάζων·
Od.24.284 εἰ γάρ μιν ζωόν γε κίχεις Ἰθάκης ἐνὶ δήμῳ,
Od.24.285 τῶ κέν σ´ εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψε
Od.24.286 καὶ ξενίῃ ἀγαθῇ· ἡ γὰρ θέμις, ὅς τις ὑπάρξῃ.
Od.24.287 ἀλλ´ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον·
Od.24.288 πόστον δὴ ἔτος ἐστίν, ὅτε ξείνισσας ἐκεῖνον,
Od.24.289 σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ´, εἴ ποτ´ ἔην γε;
Od.24.290 δύσμορον· ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης
Od.24.291 ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου
Od.24.292 θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ´· οὐδέ ἑ μήτηρ
Od.24.293 κλαῦσε περιστείλα̱σα πατήρ θ´, οἵ μιν τεκόμεσθα·
Od.24.294 οὐδ´ ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
Od.24.295 κώκυ̱σ´ ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπεῴκει,
Od.24.296 ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Od.24.297 καί μοι τοῦτ´ ἀγόρευσον ἐτήτυμον, ὄφρ´ ἐῢ εἰδῶ·
Od.24.298 τίς πόθεν εἰς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Od.24.299 ποῦ δαὶ νηῦς ἕστηκε θοή, ἥ σ´ ἤγαγε δεῦρο
Od.24.300 ἀντιθέους θ´ ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
Od.24.301 νηὸς ἐπ´ ἀλλοτρίης, οἱ δ´ ἐκβήσαντες ἔβησαν;"
Od.24.302 τὸν δ´ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.24.303 "τοιγὰρ ἐγώ τοι πάντα μάλ´ ἀτρεκέως καταλέξω.
Od.24.304 εἰμὶ μὲν ἐξ Ἀλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,

Od.24.305 υἱὸς Ἀφείδαντος Πολυπημονίδα̱ο ἄνακτος·
Od.24.306 αὐτὰρ ἐμοί γ᾽ ὄνομ᾽ ἐστὶν Ἐπήριτος· ἀλλά με δαίμων
Od.24.307 πλάγξ᾽ ἀπὸ Σι̱κανίης δεῦρ᾽ ἐλθέμεν οὐκ ἐθέλοντα·
Od.24.308 νηῦς δέ μοι ἥδ᾽ ἕστηκεν ἐπ᾽ ἀγροῦ νόσφι πόληος.
Od.24.309 αὐτὰρ Ὀδυσσῆϊ̈ τόδε δὴ πέμπτον ἔτος ἐστίν,
Od.24.310 ἐξ οὗ κεῖθεν ἔβη καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
Od.24.311 δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνι̱θες ἰόντι,
Od.24.312 δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,
Od.24.313 χαῖρε δὲ κεῖνος ἰών· θυ̱μὸς δ᾽ ἔτι νῶϊν ἐώλπει
Od.24.314 μείξεσθαι ξενίῃ ἠδ᾽ ἀγλαὰ δῶρα διδώσειν."
Od.24.315 ὣς φάτο, τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Od.24.316 ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
Od.24.317 χεύατο κὰκ κεφαλῆς πολιῆς, ἁδινὰ στεναχίζων.
Od.24.318 τοῦ δ᾽ ὠρί̱νετο θυ̱μός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
Od.24.319 δρι̱μὺ μένος προὔτυψε φίλον πατέρ᾽ εἰσορόωντι.
Od.24.320 κύσσε δέ μιν περιφὺς ἐπιάλμενος ἠδὲ προσηύδα̱·
Od.24.321 "κεῖνος μὲν δὴ ὅδ᾽ αὐτὸς ἐγώ, πάτερ, ὃν σὺ μεταλλᾷς,
Od.24.322 ἤλυθον εἰκοστῷ ἔτεϊ̈ ἐς πατρίδα γαῖαν.
Od.24.323 ἀλλ᾽ ἴσχευ κλαυθμοῖο γόοιό τε δακρυόεντος.
Od.24.324 ἐκ γάρ τοι ἐρέω· —μάλα δὲ χρὴ σπευδέμεν ἔμπης· —
Od.24.325 μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισι
Od.24.326 λώβην τεινύμενος θυ̱μαλγέα καὶ κακὰ ἔργα."
Od.15.351 τὸν δ᾽ αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Od.15.352 "τοιγὰρ ἐγώ τοι, ξεῖνε, μάλ᾽ ἀτρεκέως ἀγορεύσω.
Od.15.353 Λα̱έρτης μὲν ἔτι ζώει, Διὶ δ᾽ εὔχεται αἰεὶ
Od.15.354 θυ̱μὸν ἀπὸ μελέων φθί̱σθαι οἷσ᾽ ἐν μεγάροισιν·
Od.15.355 ἐκπάγλως γὰρ παιδὸς ὀδύ̱ρεται οἰχομένοιο
Od.15.356 κουριδίης τ᾽ ἀλόχοιο δαΐφρονος, ἥ ἑ μάλιστα
Od.15.357 ἤκαχ᾽ ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκεν.
Od.15.358 ἡ δ᾽ ἄχεϊ̈ οὗ παιδὸς ἀπέφθιτο κυ̱δαλίμοιο,
Od.15.359 λευγαλέῳ θανάτῳ, ὡς μὴ θάνοι ὅς τις ἐμοί γε

Od.15.360 ἐνθάδε ναιετάων φίλος εἴη καὶ φίλα ἔρδοι.
Od.15.361 ὄφρα μὲν οὖν δὴ κείνη ἔην, ἀχέουσά περ ἔμπης,
Od.15.362 τόφρα τί μοι φίλον ἔσκε μεταλλῆσαι καὶ ἐρέσθαι,
Od.15.363 οὕνεκά μ´ αὐτὴ θρέψεν ἅμα Κτιμένῃ τανυπέπλῳ,
Od.15.364 θυ̱γατέρ´ ἰφθί̱μῃ, τὴν ὁπλοτάτην τέκε παίδων·
Od.15.365 τῇ ὁμοῦ ἐτρεφόμην, ὀλίγον δέ τί μ´ ἧσσον ἐτί̱μα̱.
Od.15.366 αὐτὰρ ἐπεί ῥ´ ἥβην πολυήρατον ἱ̱κόμεθ´ ἄμφω,
Od.15.367 τὴν μὲν ἔπειτα Σάμηνδ´ ἔδοσαν καὶ μυ̱ρί´ ἕλοντο,
Od.15.368 αὐτὰρ ἐμὲ χλαῖνάν τε χιτῶνά τε εἵματ´ ἐκείνη
Od.15.369 κα̱λὰ μάλ´ ἀμφιέσα̱σα ποσίν θ´ ὑποδήματα δοῦσα
Od.15.370 ἀγρόνδε προΐαλλε· φίλει δέ με κηρόθι μᾶλλον.
Od.15.371 νῦν δ´ ἤδη τούτων ἐπιδεύομαι· ἀλλά μοι αὐτῷ
Od.15.372 ἔργον ἀέξουσιν μάκαρες θεοί, ᾧ ἐπιμίμνω·
Od.15.373 τῶν ἔφαγόν τ´ ἔπιόν τε καὶ αἰδοίοισιν ἔδωκα.
Od.15.374 ἐκ δ´ ἄρα δεσποίνης οὐ μείλιχόν ἐστιν ἀκοῦσαι
Od.15.375 οὔτ´ ἔπος οὔτε τι ἔργον, ἐπεὶ κακὸν ἔμπεσεν οἴκῳ,
Od.15.376 ἄνδρες ὑπερφίαλοι· μέγα δὲ δμῶες χατέουσιν
Od.15.377 ἀντία δεσποίνης φάσθαι καὶ ἕκαστα πυθέσθαι
Od.15.378 καὶ φαγέμεν πιέμεν τε, ἔπειτα δὲ καί τι φέρεσθαι
Od.15.379 ἀγρόνδ´, οἷά τε θυ̱μὸν ἀεὶ δμώεσσιν ἰαίνει."
Od.15.380 τὸν δ´ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Od.15.381 "ὢ πόποι, ὡς ἄρα τυτθὸς ἐών, Εὔμαιε συβῶτα,
Od.15.382 πολλὸν ἀπεπλάγχθης σῆς πατρίδος ἠδὲ τοκήων.
Od.15.383 ἀλλ´ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
Od.15.384 ἠὲ διεπράθετο πτόλις ἀνδρῶν εὐρυάγυια,
Od.15.385 ᾗ ἔνι ναιετάασκε πατὴρ καὶ πότνια μήτηρ,
Od.15.386 ἦ σέ γε μουνωθέντα παρ´ οἴεσιν ἢ παρὰ βουσὶν
Od.15.387 ἄνδρες δυσμενέες νηυσὶν λάβον ἠδ´ ἐπέρασσαν
Od.15.388 τοῦδ´ ἀνδρὸς πρὸς δώμαθ´, ὁ δ´ ἄξιον ὦνον ἔδωκε."
Od.15.389 τὸν δ´ αὖτε προσέειπε συβώτης, ὄρχαμος ἀνδρῶν·
Od.15.390 "ξεῖν´, ἐπεὶ ἂρ δὴ ταῦτά μ´ ἀνείρεαι ἠδὲ μεταλλᾷς,

Od.15.391 σι̱γῇ νῦν ξυνίει καὶ τέρπεο πῖνέ τε οἶνον,
Od.15.392 ἥμενος. αἵδε δὲ νύκτες ἀθέσφατοι· ἔστι μὲν εὕδειν,
Od.15.393 ἔστι δὲ τερπομένοισιν ἀκουέμεν· οὐδέ τί σε χρή,
Od.15.394 πρὶν ὥρη, καταλέχθαι· ἀνί̱η καὶ πολὺς ὕπνος.
Od.15.395 τῶν δ᾽ ἄλλων ὅτινα κραδίη καὶ θυ̱μὸς ἀνώγει,
Od.15.396 εὑδέτω ἐξελθών· ἅμα δ᾽ ἠόϊ φαινομένηφι
Od.15.397 δειπνήσα̱ς ἅμ᾽ ὕεσσιν ἀνακτορίῃσιν ἑπέσθω.
Od.15.398 νῶϊ δ᾽ ἐνὶ κλισίῃ πί̱νοντέ τε δαινυμένω τε
Od.15.399 κήδεσιν ἀλλήλων τερπώμεθα λευγαλέοισι
Od.15.400 μνωομένω· μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀ̱νήρ,
Od.15.401 ὅς τις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ᾽ ἐπαληθῇ.
Od.15.402 τοῦτο δέ τοι ἐρέω, ὅ μ᾽ ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Od.15.403 νῆσός τις Συρίη κικλήσκεται, εἴ που ἀκούεις,
Od.15.404 Ὀρτυγίης καθύπερθεν, ὅθι τροπαὶ ἠελίοιο,
Od.15.405 οὔ τι περιπληθὴς λί̱ην τόσον, ἀλλ᾽ ἀγαθὴ μέν,
Od.15.406 εὔβοος εὔμηλος, οἰνοπληθὴς πολύπυ̱ρος.
Od.15.407 πείνη δ᾽ οὔ ποτε δῆμον ἐσέρχεται, οὐδέ τις ἄλλη
Od.15.408 νοῦσος ἐπὶ στυγερὴ πέλεται δειλοῖσι βροτοῖσιν·
Od.15.409 ἀλλ᾽ ὅτε γηράσκωσι πόλιν κάτα φῦλ᾽ ἀνθρώπων,
Od.15.410 ἐλθὼν ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν,
Od.15.411 οἷσ᾽ ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος κατέπεφνεν.
Od.15.412 ἔνθα δύω πόλιες, δίχα δέ σφισι πάντα δέδασται·
Od.15.413 τῇσιν δ᾽ ἀμφοτέρῃσι πατὴρ ἐμὸς ἐμβασίλευε,
Od.15.414 Κτήσιος Ὀρμενίδης, ἐπιείκελος ἀ̱θανάτοισιν.
Od.15.415 ἔνθα δὲ Φοίνι̱κες ναυσικλυτοὶ ἤλυθον ἄνδρες,
Od.15.416 τρῶκται, μυ̱ρί᾽ ἄγοντες ἀθύρματα νηῒ μελαίνῃ.
Od.15.417 ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ᾽ ἐνὶ οἴκῳ,
Od.15.418 κα̱λή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργα ἰδυῖα·
Od.15.419 τὴν δ᾽ ἄρα Φοίνι̱κες πολυπαίπαλοι ἠπερόπευον.
Od.15.420 πλυ̱νούσῃ τις πρῶτα μίγη κοίλῃ παρὰ νηῒ
Od.15.421 εὐνῇ καὶ φιλότητι, τά τε φρένας ἠπεροπεύει

Od.15.422 θηλυτέρῃσι γυναιξί, καὶ ἥ κ´ εὐεργὸς ἔῃσιν.
Od.15.423 εἰρώτα̱ δὴ ἔπειτα, τίς εἴη καὶ πόθεν ἔλθοι̱·
Od.15.424 ἡ δὲ μάλ´ αὐτίκα πατρὸς ἐπέφραδεν ὑψερεφὲς δῶ·
Od.15.425 ‘ἐκ μὲν Σι̱δῶνος πολυχάλκου εὔχομαι εἶναι,
Od.15.426 κούρη δ´ εἴμ´ Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο·
Od.15.427 ἀλλά μ´ ἀνήρπαξαν Τάφιοι ληΐστορες ἄνδρες
Od.15.428 ἀγρόθεν ἐρχομένην, πέρασαν δέ με δεῦρ´ ἀγαγόντες
Od.15.429 τοῦδ´ ἀνδρὸς πρὸς δώμαθ´· ὁ δ´ ἄξιον ὦνον ἔδωκε.’
Od.15.430 τὴν δ´ αὖτε προσέειπεν ἀνήρ, ὃς μίσγετο λάθρῃ·
Od.15.431 ‘ἦ ῥά κε νῦν πάλιν αὖτις ἅμ´ ἡμῖν οἴκαδ´ ἕποιο,
Od.15.432 ὄφρα ἴδῃ πατρὸς καὶ μητέρος ὑψερεφὲς δῶ
Od.15.433 αὐτούς τ´; ἦ γὰρ ἔτ´ εἰσὶ καὶ ἀφνειοὶ καλέονται.’
Od.15.434 τὸν δ´ αὖτε προσέειπε γυνὴ καὶ ἀμείβετο μύ̱θῳ·
Od.15.435 ‘εἴη κεν καὶ τοῦτ´, εἴ μοι ἐθέλοιτέ γε, ναῦται,
Od.15.436 ὅρκῳ πιστωθῆναι ἀπήμονά μ´ οἴκαδ´ ἀπάξειν.’
Od.15.437 ὣς ἔφαθ´, οἱ δ´ ἄρα πάντες ἐπώμνυον, ὡς ἐκέλευεν.
Od.15.438 αὐτὰρ ἐπεί ῥ´ ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,
Od.15.439 τοῖς δ´ αὖτις μετέειπε γυνὴ καὶ ἀμείβετο μύ̱θῳ·
Od.15.440 ‘σι̱γῇ νῦν· μή τίς με προσαυδά̱τω ἐπέεσσιν
Od.15.441 ὑ̱μετέρων ἑτάρων ξυμβλήμενος ἢ ἐν ἀγυιῇ
Od.15.442 ἤ που ἐπὶ κρήνῃ· μή τις ποτὶ δῶμα γέροντι
Od.15.443 ἐλθὼν ἐξείπῃ, ὁ δ´ ὀΐ̱σάμενος καταδήσῃ
Od.15.444 δεσμῷ ἐν ἀργαλέῳ, ὑ̱μῖν δ´ ἐπιφράσσετ´ ὄλεθρον.
Od.15.445 ἀλλ´ ἔχετ´ ἐν φρεσὶ μῦθον, ἐπείγετε δ´ ὦνον ὁδαίων.
Od.15.446 ἀλλ´ ὅτε κεν δὴ νηῦς πλείη βιότοιο γένηται,
Od.15.447 ἀγγελίη μοι ἔπειτα θοῶς πρὸς δώμαθ´ ἱκέσθω·
Od.15.448 οἴσω γὰρ καὶ χρυ̱σόν, ὅτις χ´ ὑποχείριος ἔλθῃ.
Od.15.449 καὶ δέ κεν ἄλλ´ ἐπίβαθρον ἐγὼν ἐθέλουσά γε δοίην·
Od.15.450 παῖδα γὰρ ἀνδρὸς ἐῆος ἐνὶ μεγάροισ´ ἀτιτάλλω,
Od.15.451 κερδαλέον δὴ τοῖον, ἅμα τροχόωντα θύραζε·
Od.15.452 τόν κεν ἄγοιμ´ ἐπὶ νηός, ὁ δ´ ὔ̱μι̱ν μυ̱ρίον ὦνον

Od.15.453 ἄλφοι̱, ὅπῃ περάσητε κατ´ ἀλλοθρόους ἀνθρώπους.’

Od.15.454 ἡ μὲν ἄρ´ ὣς εἰποῦσ´ ἀπέβη πρὸς δώματα κα̱λά·

Od.15.455 οἱ δ´ ἐνιαυτὸν ἅπαντα παρ´ ἡμῖν αὖθι μένοντες

Od.15.456 ἐν νηῒ γλαφυρῇ βίοτον πολὺν ἐμπολόωντο.

Od.15.457 ἀλλ´ ὅτε δὴ κοίλη νηῦς ἤχθετο τοῖσι νέεσθαι,

Od.15.458 καὶ τότ´ ἄρ´ ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικί.

Od.15.459 ἤλυθ´ ἀνὴρ πολυΐδρις ἐμοῦ πρὸς δώματα πατρὸς

Od.15.460 χρύ̱σεον ὅρμον ἔχων, μετὰ δ´ ἠλέκτροισιν ἔερτο.

Od.15.461 τὸν μὲν ἄρ´ ἐν μεγάρῳ δμῳαὶ καὶ πότνια μήτηρ

Od.15.462 χερσίν τ´ ἀμφαφόωντο καὶ ὀφθαλμοῖσιν ὁρῶντο,

Od.15.463 ὦνον ὑπισχόμεναι· ὁ δὲ τῇ κατένευσε σιωπῇ.

Od.15.464 ἦ τοι ὁ καννεύσα̱ς κοίλην ἐπὶ νῆα βεβήκει,

Od.15.465 ἡ δ´ ἐμὲ χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε.

Od.15.466 εὗρε δ´ ἐνὶ προδόμῳ ἠμὲν δέπα ἠδὲ τραπέζας

Od.15.467 ἀνδρῶν δαιτυμόνων, οἵ μευ πατέρ´ ἀμφεπένοντο.

Od.15.468 οἱ μὲν ἄρ´ ἐς θῶκον πρόμολον δήμοιό τε φῆμιν,

Od.15.469 ἡ δ´ αἶψα τρί´ ἄλεισα κατακρύψα̱σ´ ὑπὸ κόλπῳ

Od.15.470 ἔκφερεν· αὐτὰρ ἐγὼν ἑπόμην ἀεσιφροσύνῃσι.

Od.15.471 δύ̱σετό τ´ ἠέλιος σκιόωντό τε πᾶσαι ἀγυιαί·

Od.15.472 ἡμεῖς δ´ ἐς λιμένα κλυτὸν ἤλθομεν ὦκα κιόντες,

Od.15.473 ἔνθ´ ἄρα Φοινί̱κων ἀνδρῶν ἦν ὠκύαλος νηῦς.

Od.15.474 οἱ μὲν ἔπειτ´ ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,

Od.15.475 νὼ ἀναβησάμενοι· ἐπὶ δὲ Ζεὺς οὖρον ἴαλλεν.

Od.15.476 ἑξῆμαρ μὲν ὁμῶς πλέομεν νύκτας τε καὶ ἦμαρ·

Od.15.477 ἀλλ´ ὅτε δὴ̱ἕ̱βδομον ἦμαρ ἐπὶ Ζεὺς θῆκε Κρονί̱ων,

Od.15.478 τὴν μὲν ἔπειτα γυναῖκα βάλ´ Ἄρτεμις ι̱οχέαιρα,

Od.15.479 ἄντλῳ δ´ ἐνδούπησε πεσοῦσ´ ὡς εἰναλίη κήξ.

Od.15.480 καὶ τὴν μὲν φώκῃσι καὶ ἰχθύσι κύρμα γενέσθαι

Od.15.481 ἔκβαλον· αὐτὰρ ἐγὼ λιπόμην ἀκαχήμενος ἦτορ.

Od.15.482 τοὺς δ´ Ἰθάκῃ ἐπέλασσε φέρων ἄνεμός τε καὶ ὕδωρ,

Od.15.483 ἔνθά με Λα̱έρτης πρίατο κτεάτεσσιν ἑοῖσιν.

Od.15.484 οὕτω τήνδε τε γαῖαν ἐγὼν ἴδον ὀφθαλμοῖσι."

Od.15.485 τὸν δ᾽ αὖ δι̯ογενὴς Ὀδυσεὺς ἠμείβετο μῡ̱́θῳ·

Od.15.486 "Εὔμαι᾽, ἦ μάλα δή μοι ἐνὶ φρεσὶ θυ̱μὸν ὄρι̱νας

Od.15.487 ταῦτα ἕκαστα λέγων, ὅσα δὴ πάθες ἄλγεα θυ̱μῷ.

Od.15.488 ἀλλ᾽ ἦ τοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκε

Od.15.489 Ζεύς, ἐπεὶ ἀνδρὸς δώματ᾽ ἀφῐ̱́κεο πολλὰ μογήσα̱ς

Od.15.490 ἠπίου, ὃς δή τοι παρέχει βρῶσίν τε πόσιν τε

Od.15.491 ἐνδυκέως, ζώεις δ᾽ ἀγαθὸν βίον· αὐτὰρ ἐγώ γε

Od.15.492 πολλὰ βροτῶν ἐπὶ ἄστε᾽ ἀλώμενος ἐνθάδ᾽ ἱκά̱νω."